# ΚΥΡΙΛΛΟΣ

ΕΛΕΩ ΘΕΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

ΝΕΑΣ ΡΩΜΗΣ

ΚΑΙ

# ΟΙΚΟΥΜΕΝΙΚΟΣ ΠΑΤΡΙΑΡΧΗΣ.

Ἐλλογιμώτατε Ἀρχιδιδάσκαλε τῆς ἐν Χίῳ Σχολῆς Κύριε Νεόφυτε Βάμβα, ἡμέτερε κατὰ πνεῦμα υἱὲ λίαν ἀγαπητὲ, χάρις εἴη σου τῇ ἐλλογιμότητι καὶ εἰρήνη παρὰ Θεοῦ, παρ᾽ ἡμῶν δὲ εὐχὴ, εὐλογία, καὶ συγχώρησις.

Ἐδεξάμεθα μετὰ τοῦ ἐλλογίμου υἱϊκοῦ σου γράμματος καὶ αὐτὸ τὸ Σύνταγμα τῆς Ἠθικῆς σου διδασκαλίας, ὅπερ ἐκ τῶν πάλαι τε καὶ νῦν ἠθικῶς φιλοσοφησάντων συνερανισάμενος, καὶ συνταξάμενος εὐμεθόδως, τύποις τε προέθου ἐκδοῦναι πρὸς ὠφέλειαν κοινὴν τῶν ὁμογενῶν, καὶ ἡμῖν ὥς τι πρωτέλειον ἐκ τοῦ εὐανθοῦς τῆς διδασκαλίας σου λειμῶνος προσήνεγκας. Τοῦτο γοῦν ὑφ᾽ ἡμῶν πρότερον ἐσκεμμένως ἀναγνωσθὲν, εἶτα καὶ παρ᾽ ἄλλων ἀνδρῶν λογίων μετ᾽ ἐπιστασίας θεωρηθὲν, κέκριται ὁμοψήφως ἐκδόσεως ἄξιον· διὰ γὰρ τὴν σπάνιν, δὸς δ᾽ εἰπεῖν, καὶ παντελῆ ἔλλειψιν ἠθικῶν πραγματειῶν, μεθοδικῇ τάξει ἐξυφασμένων, καὶ τῇ καθομιλουμένῃ φωνῇ συγγεγραμμένων, ἢ ἐξ ἄλλων εἰς αὐτὴν μετενηνεγμένων, καὶ ὡς ἱστορικοῖς πεπυκασμένη παραδείγμασι, πλεῖστον ὅσον παρεχομένοις βεβαίως τὸ ὄφελος, πολλοῦ ἀξία κατεφάνη ἡ βίβλος καὶ ἀναγκαία πρὸς τὴν τῶν ἠθῶν διακόσμησιν τῆς καθ᾽ ἡμᾶς νεολαίας. Ἔνθεν τοι καὶ ταῖς ἡμῶν εὐλογίαις καὶ εὐφημίαις ταῖς προσηκούσαις κατεστέψαμεν Σὲ τὸν τοιαύτην πρόθεσιν φιλόκαλον ἐνδειξάμενον, καὶ ζήλῳ φιλογενείας εἰλικρινεῖ ὑποδυσάμενον τὸν θεοφιλῆ καὶ κοινωφελῆ τουτονὶ πόνον, ἐπευχόμενοί σοι ἐκ βαθέων ψυχῆς, ὅπως τῇ ἄνωθεν βοηθείᾳ καὶ χάριτι ἐπιρρωννύμενος, καὶ ἄλλους τῷ Γένει ἐξενέγκῃς καρποὺς, ὡραίους τε καὶ γενναίους, ναὶ δὴ καὶ ταῖς κοιναῖς ἀναλόγους ἐλπίσιν εἴς τε ὠφέλειαν δαψιλεστέραν τῶν ὁμογενῶν, καὶ τῆς περὶ λόγους εὐδοκιμήσεώς σου ἀθάνατον εὔκλειαν. Ταῦτα ἐπὶ τοσοῦτον ἀποκριτικῶς μετὰ πατρικῆς εὐνοϊκῆς διαθέσεως· ἡ δὲ τοῦ Θεοῦ χάρις καὶ τὸ ἄπειρον ἔλεος εἴη μετὰ τῆς ἐλλογιμότητός σου.

ͺαωιζʹ. Ὀκτωβρίου ιδʹ.

Κωνσταντινουπόλεως

καὶ πρὸς Θεὸν εὐχέτης διάπυρος.